# ΥΠΟΘΕΣΙΣ ΤΩΝ ΤΟΥ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΩΝ.

Ο Εὐριπίδης ἀδιαλλάκτως τῶν γυναιξὶν ἐχθρὸς ὤν, διὰ τὴν αὐτοῦ ἐπιπολάζουσαν ἐπὶ πάσαις τραγῳδίαις καὶ ἐκείνων ἐφυβρεστικήν τινα κακηγορίαν κακολογίαν τε, εἰσηγγέλθη τὴν εἰσαγγελίαν τοῦ θανάτου ἐν θεσμοφορείοις ὑπὸ τῶν γυναικῶν θεσμοφοριαζουσῶν κατὰ τὰ πάτρια ἔθη τῶν Ἀθηναίων. Ἀπορῶν δὴ ὁ Εὐριπίδης τὴν μεγίστην ἀπορίαν ὅτι χρήσεται αὐτῷ, καὶ ὅπως ἀποφεύγειν οἷός τ' εἴη ταύτην τὴν εἰσαγγελίαν, καὶ διαλλαγὰς ποιεῖσθαι πρὸς τὰς δὲ γυναῖκας θεσμοφοριαζούσας καταφεύγει σὺν τῷ Μνησιλόχῳ κηδεστῇ αὐτοῦ πρὸς τὸν Ἀγάθωνα, κάκιστον δὴ πάντων τῶν ποιητῶν, γυναικοπρόσωπόν τε καὶ θηλυφανῆ. καὶ δεῖται ἐκείνῳ ὥστε θέλειν ὑπὲρ αὐτοῦ ἀπολογεῖσθαι παρὰ ταῖς δὲ θεσμοφοριαζούσαις γυναιξίν. ἀλλ' ὅ δε Ἀγάθων μετὰ τῆς δυσχερείας ἀπαρνεῖται, καὶ οὐ φάσκει ἀπολογήσεσθαι ὑπὲρ τοῦ Εὐριπίδου. διὰ τὸ τοῦ Εὐριπίδου ἔτι μᾶλλον ἀποροῦντος, καὶ ταλαντευομένου, ὁ Μνησίλοχος πιστότατος αὐτοῦ φίλος ὢν καὶ κηδεστής, τὸ γυναικεῖον κόσμημα ἀμφιβληθεὶς καὶ ὑπενδυσάμενος εἰσέρχεται εἰς τὰ θεσμοφόρεια, ὡς γυνὴ γυναικὸς δὴ σχῆμα παρέχων, καὶ καρτερῶς ἀνδρείως τε ὑπεραγωνίζεται καὶ ὑπεραπολογεῖται τοῦ Εὐριπίδου. γνωσθεὶς δὲ τελευτῶν ὑπὸ τῶν θεσμοφοριαζουσῶν, ὅτι ἀνήρ ἐστι, καὶ εἷς τῶν τοῦ Εὐριπίδου φίλων, ἀπάγεται καὶ ἐμβάλλεται εἰς τὸ δεσμωτήριον τοῦ Πρυτανέως ἐπιτάξαντος, ὅστις μετεπέμφθη ὑπὸ τῶν δὲ θεσμοφοριαζουσῶν ἐπὶ τῇ τιμωρίᾳ τοῦ δὲ Μνησιλόχου, ἀλλ' ἐκ τούτων δεσμῶν ἐξέρχεται, καὶ ἀπολύεται διὰ τῶν ποικίλων σοφισμάτων καὶ μηχανημάτων τοῦ Εὐριπίδου, ὅστις πάντα περιβάλλεται τὰ εἴδη καὶ πρόσωπα τοῦ μὴ γιγνώσκεσθαι, καὶ οὕτω ῥᾳδίως διασώζειν τὸν τοῦ Μνησίλοχον. Σημαίνει δ' αὕτη ἡ κωμῳδία ἠθικόν τι, δηλονότι, τὸν φίλον ὑπὲρ ἡμῶν κινδυνεύσαντα οὐδέποτ' ἐστὶ προδοτέον, οὐδ' ἂν ἀποθανεῖν μέλλωμεν, ἀλλὰ πᾶσαν δεῖν πεῖραν πειρᾶσθαι, ὥστε ἐκεῖνον σώζειν καὶ ἐκλύεσθαι τῶν κινδύνων.

---

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ.

ΘΕΣΜΟΦΟΡΙΑ τὰ τῆς Δήμητρος μυστήρια λέγεται, καὶ ὄνομα μιᾶς τῶν τῆς Δήμητρος τελετῶν ἐστίν, ὡς μαρτυρεῖ ὁ Ἀθήναιος. τὰς γὰρ τῆς Δήμητρος ἑορτάς φησι καλεῖσθαι παρ' Ἕλλησι Δημήτρια, Θεσμοφόρια, καὶ Ἐλευσίνια. Ἡρόδοτος δὲ τὰ τῆς Δήμητρος μυστήρια ὑπὸ τῶν Ἑλλήνων ὀνομάζεσθαι λέγει Θεσμοφόρια, ὡσεὶ θεσμῶν φοράς, τουτέστι, νόμων θέσεις. καὶ γὰρ θεσμὸς παρὰ παλαιοῖς νόμον σημαίνει. ὅθεν καὶ Ἀνδοκίδης ἐν τοῖς αὐτοῦ λόγοις τοὺς τοῦ Δράκοντος θεσμοὺς ὀνομάζει, καθάπερ καὶ τοὺς Σόλωνος νόμους. καὶ οἱ θεσμοθέται παρ' Ἀθηναίοις ἐκαλοῦντο οἵπερ καθ' ἕκαστον ἐνιαυτὸν διώρθουν τοὺς θεσμούς, τουτέστι νόμους ἐν τῷ δημοσίῳ, ὡς φησιν ὁ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος, καὶ τοῦτο θεσμοθετῶν ἀνάκρισις ἐκαλεῖτο. Θεσμὸς δὲ ἱερὸν καὶ ὅσιον νόμον δηλοῖ καὶ θεῖον, καθάπερ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ κόσμου τοὺς τοῦ θεοῦ θεσμοὺς καλεῖ, δηλονότι θείους νόμους, καὶ οἱ προνοίας, εἱμαρμένης τε θεσμοὶ λέγονται, τουτέστι θεῖοι νόμοι καὶ ἀνεπίφευκτοι. φέρεται δὲ κατὰ τὸν Διόδωρον Σίκελον ἡ Ἶσις δηλονότι Δημήτηρ πρὸς τῇ τῶν σιτήρων εὑρέσει θέσθαι καὶ ἐνεγκεῖν τοῖς ἀνθρώποις τοὺς θεσμοὺς θείους καὶ ὁσίους ἐπὶ τῷ νομίμως δικαίως τε καὶ ἐναγῶς ζῆν, καὶ πᾶσαν ἐν ἑαυτοῖς δικαιοσύνην καὶ ἰσονομίαν ὁμαλίαν τε διαφυλάττεσθαι, καὶ διὰ τοῦτο λέγει τὴν Δήμητρα θεσμοφόρον κεκλῆσθαι ἀπὸ τῆς δὲ τῶν θεσμῶν φορᾶς καὶ θέσεως, ὅτι παρέσχεν ἀνθρώποις, οὐ μόνον σωματικῆς τροφῆς καὶ αὐξήσεως εὐπορίαν, ἀλλὰ καὶ τοὺς νόμους τοῦ καλῶς καὶ ἀγαθῶς ζῆν. οἱ δὲ Ἀθηναῖοι τιμᾶν βουλόμενοι τὴν Δήμητρα οὕτω μεγάλως καὶ καθ' ὑπερβολὴν πάντας ἀνθρώπους εὐεργετήσασαν (ὡς δὴ ἐνόμιζον) ταύτην τὴν ἑορτὴν θεσμοφορίων ἐτέλουν διὰ τῶν γυναικῶν ἐπὶ τῇ τιμῇ τῆς Δήμητρος θεσμοὺς ἐνεγκαμένης. φησὶ γὰρ οὗτος ὁ Διόδωρος, οὐκ ἄξιον δὲ παραλιπεῖν τῆς θεοῦ ταύτης τὴν ὑπερβολὴν τῆς εἰς τοὺς ἀνθρώπους εὐεργεσίας. χωρὶς γὰρ τῆς εὑρέσεως τοῦ σίτου τήν τε κατεργασίαν αὐτοῦ τοὺς ἀνθρώπους ἐδίδαξε, καὶ νόμους εἰσηγήσατο, καθ' οὓς δικαιοπραγεῖν εἰθίσθησαν δι' ἣν αἰτίαν αὐτὴν θεσμόφορον ἤτοι δικαιοφόρον ἐπονομασθῆναι. τούτων δὲ εὑρημάτων οὐκ ἄν τις εὕροι τὴν εὐεργεσίαν μείζονα ἢ γὰρ τὸ ζῆν καὶ τὸ καλῶς ζῆν περιέχουσαν. Ἐν δὲ τοῖς θεσμοφορείοις αἱ γυναῖκες Ἀθηναῖαι ἑορτάζουσαι, ὡς οἷόν τε ἦν μάλιστα ὁσίως καὶ ἱερῶς ἁγνῶς τε διῆγον καὶ διετέλουν. καὶ γὰρ κατὰ τὸ τῶν Αἰγυπτίων ἔθος τῶν σιτίων ἀπείχοντο, καὶ χαμαὶ ἔκειντο, ὡς μαρτυρεῖ ὁ Πλούταρχος, καὶ τὰς κλίνας ὑπεστρώννυον αὐτῶν ἐκ τῶν τῆς βοτάνης καλουμένης ἄγνου καὶ λύγου φύλλων. βουλόμεναι οὕτως ἐν τούτοις τοῖς μυστηρίοις πᾶσαν τῆς ἁγνείας, καὶ σωφροσύνης δόξαν παρέχειν Ἀθηναίοις τε καὶ θεοσεβεῖς, θεοφιλεῖς τε φαίνεσθαι. αἱ δὲ γυναῖκες τὴν τῶν θεσμοφορείων ἑορτὴν ἑορτάζουσαι καὶ τελοῦσαι θεσμοφοριάζουσαι ἐκαλοῦντο, ὧν δὴ ἐνταῦθα μέμνηται ὁ Ἀριστοφάνης. καὶ γὰρ θεσμοφοριάζειν σημαίνει θεσμοφόρια τελεῖν.